## Was die ersten Philosophen wollten

*Aristoteles beschreibt in seiner Metaphysik einige grundlegende Vorstellungen und philosophische Begriffe der ersten griechischen Philosophen.*

Τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνας ᾠήθησαν ἀρχὰς εἶναι πάντων·

ἐξ οὗ γὰρ ἔστιν ἅπαντα τὰ ὄντα καὶ ἐξ οὗ γίγνεται πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην ἀρχήν φασιν εἶναι τῶν ὄντων, καὶ διὰ τοῦτο οὔτε γίγνεσθαι οὐθὲν οἴονται οὔτε ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σῳζομένης.

**ἡ ὕλη** - Holz, Baustoff, Materie - **ἐν ὕλης εἴδει** in Gestalt von Materie, stofflich - **τὸ πάθος** *hier* Zustand, Erscheinungsform
**σῴζομαι** *hier* erhalten bleiben

## Das Staunen als Ursprung der Philosophie

*Wenn die Menschen sich über etwas wundern, beginnen sie zu philosophieren.*

Διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν, ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀτόπων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω προϊόντες καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περί τε τῶν τῆς σελήνης παθημάτων καὶ τῶν περὶ τὸν ἥλιον καὶ ἄστρα καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως.

Ὁ δ’ ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν - διὸ καὶ ὁ φιλόμυθος φιλόσοφός πώς ἐστιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων·

ὥστ’ εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίστασθαι ἐδίωκον καὶ οὐ χρήσεώς τινος ἕνεκεν.

**τὰ πρόχειρα** (*das, was vor den Händen liegt*) das Nächstliegende - **κατὰ μικρὸν** in kleinen Schritten, langsam
**διαπορέω** = ἀπορέω - **τὸ πάθημα** *hier* Zustand - **σύγκειμαι ἐκ** aus etw. bestehen - **εἴπερ** wenn wirklich - **ἡ χρῆσις** = ἡ χρεία